ὄλβῳ χ' ἡσυχίῃ σφὴν Πατρίδα ναιετάοντων·
πάντα δ' ἔναλλα γένονθ'· οἱ γὰρ τὸ πάροιθεν ἄοικοι
οἰοπόλοισι δ' ὄρεσφ' ἀλαλήμενοι, ἀλλοδαπῆτε,
ὑψερεφῆ τεῦξαν νῦν δώματα θαῦμα ἰδέσθαι.
εὖ μάλα κόσμηθεν πτόλιες δ' αὖ Γυμνασίοισιν,
ἐκ δὲ Καθηγηταὶ κεκλήαται ὅσσοι ἄριστοι,
ὄφρα κεν ἠΐθεοι μουσάων ὅσσοι ἐρασταὶ
νωλεμέως ἀρύοινθ' ὡς κρηνῶν ἐκ γλυκεράων
παιδείης γένε' ὅσσα τ' ἔασι καὶ εἴδεα πάντα.
Ἔσκε δ' ἄρ' εὐδικίης τ' ἀλεγίζων Ἀρχὸς ἀμύμων,
τῇ μέγα παμφαίνησι δικασπόλοις ἠΰτε φράδμων.
ὥστε γὰρ εὐκήλως λαὸς ζῶν ἔνδικα ῥέζοι,
πᾶσα δ' ἀτασθαλίη καὶ νείκεα, δεινὴ ἔρις τε,
πάρφασις αὖ δολόφρων ἀνσπασθεῖεν προθελύμνως,
ἀρχομένοισι θέμις δὲ καὶ εἰρήνη διαφαίνοι,
θεσμοφόρον πάντεσσι δικασταῖς ὤπασε βίβλον,
γνώμονα ἰθείης νυ δίκης ἰθύντατον ἔμμεν·
τήν ῥα δὴ αὐτότατος τηλεκλυτὸς ἔκθετο Ἀρχὸς
δεῖγμα μέγ' ἰδμοσύνης σάφ' ἑῆς θέμιδός τε δίκης τε.
Ἔργα δ' οἱ οὐκ ἂν ἔγωγ' αὐδήσω θέσκελα πάντα
ὅσσα τ' ἔοργε πάροιθ' ἀριδήλως, ὅσσα νύθ' ἔρδει·
οὐδὲ γὰρ ἔστιν ἐμοῖο νόου τ' οὐδὲ στόματός τε.
τοῖο γὰρ οὔτις ἕκαστ' ἂν ῥηϊδίως καταλέξαι
σύμβολα εὐσεβίης, εὐεργεσίης, ἐλέου τε,
λατρείην ὀρθήν τε, δόμων τε καθίδρυσιν ἱρῶν,
ἠγαθέην ἄνεσιν πταίουσι, λισσομένοισι

θυ-